τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων
τῆς τούτων ἀρετῆς. ἀλλ᾽ ἐν τοῖς ἰδίοις κινδύνοις, ὅταν
ὁρῶσι τοὺς μὲν πρότερον ὄντας φίλους φεύγοντας τὴν
αὐτῶν ἀπορίαν, τοὺς δ᾽ ἐχθροὺς μέγα φρονοῦντας ἐπὶ
ταῖς δυστυχίαις ταῖς τούτων; Μόνην δ᾽ ἄν μοι δοκοῦμεν 75
ταύτην τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι χάριν, εἰ τοὺς
μὲν τοκέας αὐτῶν ὁμοίως ὥσπερ ἐκεῖνοι περὶ πολλοῦ
ποιοίμεθα, τοὺς δὲ παῖδας οὕτως ἀσπαζοίμεθα ὥσπερ
αὐτοὶ πατέρες ὄντες, ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοη-
θοὺς ἡμᾶς αὐτοὺς παρέχοιμεν, οἷοίπερ ἐκεῖνοι ζῶντες
ἦσαν. τίνας γὰρ ἂν εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐν- 76
θάδε κειμένων; τίνας δ᾽ ἂν τῶν ζώντων δικαιότερον
περὶ πολλοῦ ποιοίμεθα ἢ τοὺς τούτοις προσήκοντας, οἳ
τῆς μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις ἀπέλαυσαν,
ἀποθανόντων δὲ μόνοι γνησίως τῆς δυστυχίας μετέχουσιν;
Ἀλλὰ γὰρ οὐκ οἶδ᾽ ὅ τι δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ 77
γὰρ ἐλανθάνομεν ἡμᾶς αὐτοὺς ὄντες θνητοί· ὥστε τί
δεῖ, ἃ πάλαι προσεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν
ἄχθεσθαι, ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύ-
σεως συμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ
τοῖς χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε | γὰρ τοὺς πο-
νηροὺς ὑπερορᾷ οὔτε τοὺς ἀγαθοὺς θαυμάζει, ἀλλ᾽ ἴσον
ἑαυτὸν παρέχει πᾶσιν. εἰ μὲν γὰρ οἷόν τε [ἦν] τοῖς τοὺς 78
ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν ἀθανάτους εἶναι
τὸν λοιπὸν χρόνον, ἄξιον τοῖς ζῶσι τὸν ἅπαντα χρόνον
πενθεῖν τοὺς τεθνεῶτας· νῦν δὲ ἥ τε φύσις καὶ νόσων
ἥττων καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμετέραν μοῖραν
εἰληχὼς ἀπαραίτητος. ὥστε προσήκει τούτους εὐδαι- 79
μονεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλ-
λίστων κινδυνεύσαντες οὕτω τὸν βίον ἐτελεύτησαν, οὐκ
ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ οὐδ᾽ ἀναμείναντες τὸν